# ΑΚΟΛΟΥΘΙΑ

# ΤΩΝ ΑΓΙΩΝ ΝΕΟΜΑΡΤΥΡΩΝ

# ΚΑΙ ΟΜΟΛΟΓΗΤΩΝ

## ΤΗΣ ΡΩΣΙΚΗΣ ΓΗΣ 1917-1990.

22 Ἰανουαρίου ἂν τύχῃ Κυριακή ἢ τὴν μετ' αὐτὴν Κυριακὴν ἕως 28 Ἰανουαρίου.

*Πάνιον Ὄρος Ἀττικῆς 2005.*

# Οἱ Ρῶσοι Νεομάρτυρες

Μετά ἀπό τήν ἄθεον ἐπανάστασιν τοῦ 1917 καί κατά τήν διάρκειαν ἐκείνης τῆς φοβερᾶς περιόδου τῆς ἀποστασίας, ἡ διωκομένη Ρωσική Ἐκκλησία ἔχουσα κατά νοῦν τά λόγια τοῦ Σωτῆρος *«ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε· ἀλλά θαρσεῖτε, ἐγώ νενίκηκα τόν κόσμον»*, ὡδήγησεν εἰς τόν Χριστόν μίαν πληθώραν Ἱερῶν Μαρτύρων, ἀφόβων Ὁμολογητῶν, Ὀρθοδόξων Χριστιανῶν, οἱ ὁποῖοι ὑπέφεραν καί ἐσφαγιάσθησαν διά τήν Πίστιν!

Τό αἷμά των ἀπέπλυνε τήν ἐντροπήν τῆς ἀποστασίας τῶν ὁμοεθνῶν των. Ἔγιναν ἑκουσία θυσία διά τόν ἐξαγνισμόν τοῦ Ἔθνους των.

Ὁ Τσάρος ἐσφαγιάσθη ὡς σύμβολον τῆς Ὀρθοδόξου ἐπικρατείας. Ἐθανάτωσαν τούς Ποιμένας τῆς Ἐκκλησίας, καθώς καί μοναχούς καί λαϊκούς, αὐτούς οἱ ὁποῖοι ἠγάπων τόν Χριστόν, ἄνδρας, γυναῖκας ἀκόμη καί ἀθῷα παιδιά!

Μέ διάφορα βασανιστήρια, ἐδολοφόνησαν, ἐκτέλεσαν ἐν ψυχρῷ, ἐκτύπησαν ἕως θανάτου, ἐσκότωσαν διά πείνης καί κρύου καί μέ καταναγκαστικά ἔργα εἰς τά στρατόπεδα ἐργασίας. Ἔθαψαν ἀνθρώπους ζωντανούς! τούς ἐκρέμασαν ἀπό τάς θύρας καί τάς ὡραίας πύλας τῶν Ναῶν, τούς ἔρριψαν εἰς τά ποτάμια, τούς ἔκοψαν τάς γλῶσσας, ἐσκότωσαν τάς γυναῖκας καί τά παιδιά των. Διά νά ἐκτελεσθῇ κάποιος, ἀρκοῦσε μία ἁπλῆ κατηγορία: *«εἶναι δοῦλος τοῦ Θεοῦ, ἕνας πιστός χριστιανός»!*

Οἱ πιστοί ἐπορεύοντο ὡς πρόβατα εἰς τήν σφαγήν, ὑποκύπτοντες εἰς τήν θέλησιν τοῦ Θεοῦ ἀκόμα καί ἕως τόν θάνατον! *«Τίς ἡμᾶς χωρίσει ἀπό τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἤ στενοχωρία ἤ διωγμός ἤ λιμός ἤ γυμνότης ἤ κίνδυνος ἤ μάχαιρα;»* *(Ρωμαίους Η' 35).*

Αὐτή ἡ πάλη ἐξύψωσε τήν Ὀρθόδοξον Ἐκκλησίαν καί προσέθεσεν εἰς αὐτήν νέαν δόξαν!

Εἰς τήν περίοδον τῶν διωγμῶν, οἱ Μάρτυρες ἔγιναν ἡ δόξα μας, ἡ νίκη μας, ἡ χαρά μας.

Ἔφυγαν ἀπό τήν στρατευομένην Ἐκκλησίαν ὡς νικηταί καί μετέβησαν εἰς τήν θριαμβεύουσαν Ἐκκλησίαν! Εἶναι πλέον καιρός νά προσευχώμεθα πρός αὐτούς, διότι ἔχουν ἤδη εἰσέλθει εἰς τήν χαράν τοῦ Κυρίου!

*(Ἀπό τό ἐπίσημον ἔγγραφον τῆς ἐν ἔτει 1981 ἀνακηρύξεως τῶν Ρώσων Νεομαρτύρων ὡς Ἁγίων, ὑπό τῆς Ἱ. Συνόδου τῆς Ρωσικῆς Ἐκκλησίας τῆς Διασπορᾶς).*



# ΑΝΤΙ ΠΡΟΛΟΓΟΥ

Δημοσιεύομεν ἕν ἀπόσπασμα ἀπό σχετικόν κείμενον τοῦ Ἁγίου Ἰωάννου Μαξίμοβιτς, τό ὁποῖον ἐγράφη τό 1938, ὅταν ὁ Ἅγιος ἦτο Ἐπίσκοπος εἰς τήν Σαγγάην τῆς Κίνας, καί φέρει τόν γενικόν τίτλον "Ἡ χιλιετηρίς τοῦ Βαπτίσματος τῆς Ρωσίας".

*«...Ὅπως ἀκριβῶς μετά τήν πτῶσιν τοῦ Ἑωσφόρου καί τῶν ὀπαδῶν του, οἱ ὑπόλοιποι Ἅγιοι Ἄγγελοι ἀνεφλέχθησαν ἀκόμη περισσότερον ἀπό ἀγάπην πρός τόν Θεόν καί ἔλαμψαν ἐκθαμβοτικώτερον εἰς τόν οὐρανόν, κατά τόν ἴδιον τρόπον ἐνεφανίσθησαν οἱ ἄθεοι ἀνάμεσα εἰς τόν Ρωσικόν λαόν, ἀλλά ἡ ἀποστασία των ἀπεκάλυψε ἀκόμη περισσότερον τήν Ἁγιότητα τῆς Ρωσίας καί τήν ἐδόξασεν εἰς τόν Οὐρανόν καί εἰς ὁλόκληρον τήν ὑφήλιον.*

*Ἕνας ἀναρίθμητος χορός νέων Μαρτύρων ἐπέδειξε τήν ἀφοσίωσίν του εἰς τόν Χριστόν. Ὁ Ρωσικός λαός εἰς τήν ὁλότητά του, ὑπομένων μέ ἀνέκφραστον ὑπομονήν τά βάσανά του, ὅμοια τῶν ὁποίων οὐδείς ἄλλος λαός ἔχει ὑποστῆ εἰς τόν κόσμον, ἔχει δώσει ἕν ἀναρίθμητον πλῆθος μαρτυριῶν σταθερότητός του εἰς τήν Πίστιν.*

*Παρά τόν ὠμότατον διωγμόν, ἡ Ἐκκλησία παραμένει ἀνίκητος. Παρ' ὅτι ἕν πλῆθος Ναῶν ἔχει καταστραφῆ, τόσον ὥστε εἰς πολλάς πόλεις, τάς ὁποίας ἐκόσμουν πρότερον μεγαλοπρεπεῖς Ναοί, δέν ἔχει ἀπομείνει οὔτε ἕνας, ὅμως οἱ πιστοί συνέρχονται μυστικῶς καί προσεύχονται εἰς τόν Κύριον καί Θεόν. Ἀνεβίωσεν εἰς τήν Ρωσίαν ἡ ἐποχή τῶν Κατακομβῶν, τήν ὁποίαν δέν εἶχε γνωρίσει ἐνωρίτερον, διότι ποτέ πρίν δέν εἶχε δοκιμάσει διωγμόν Πίστεως.*

*Εἰς τόν μεγάλον χορόν τῶν Ἁγίων τῆς Ρωσίας ὑπῆρχαν πολλοί Ἱεράρχαι, Ὅσιοι, Δίκαιοι καί διά Χριστόν σαλοί. Ἀλλά Μάρτυρες εἰς τήν ρωσικήν γῆν ὑπῆρξαν ἐλάχιστοι ἀπό τήν παλαιάν ἐποχήν.*

*Ἡ ἔνδοξος στρατιά τῶν Ἁγίων Μαρτύρων, τῶν ὁποίων τό αἷμα ἔγινε ὁ σπόρος διά τόν Χριστιανισμόν εἰς ὅλον τόν κόσμον, μία στρατιά πού δοξάζεται σχεδόν καθημερινῶς ἀπό τήν ἐπί γῆς Ἐκκλησίαν, δέν εἶχε σχεδόν μέλη εἰς τήν οὐράνιον Ἐκκλησίαν τῆς Ρωσίας. Ἦλθε ἡ ἐποχή νά πληρωθοῦν αἱ τάξεις της. Εἰς τόν μικρόν ἀριθμόν τῶν Μαρτύρων καί Παθοφόρων, οἱ ὁποῖοι ἐμαρτύρησαν εἰς τήν παλαιάν ἐποχήν εἰς τήν Ρωσίαν, προσετέθη ἕν ἀναρίθμητον πλῆθος νέων Παθοφόρων καί Μαρτύρων.*

*Μεταξύ αὐτῶν ὁ ἐστεμμένος Τσάρος, ἀπόγονος τοῦ βαπτιστοῦ τῆς Ρωσίας, μέ ὅλην τήν οἰκογένειάν του· καί ὁ ὁμώνυμος τοῦ βαπτιστοῦ τῆς Ρωσίας, ὁ Ἱεράρχης τῆς βαπτιστηρίου πόλεώς της Μητροπολίτης Κιέβου Βλαδίμηρος· καί ἱεράρχαι, πρίγκηπες, βογιάροι, στρατιῶται, κληρικοί, μοναχοί, σοφοί καί ἰδιῶται, κάτοικοι τῶν πόλεων καί τῶν χωριῶν, ἐπιφανεῖς καί ἁπλοῖ ἄνθρωποι. Κάθε ἡλικία, κάθε κατάστασις, κάθε γωνιά τῆς Ρωσίας ἔδωσε νέους παθοφόρους.*

*Ὁλόκληρη ἡ Ρωσία ἐπλημμύρισε μέ αἷμα Μαρτύρων· ὁλόκληρη ἡγιάσθη ἀπό αὐτό!*

*Ὢ θαυμασία καί ἔνδοξος στρατιά τῶν νέων Μαρτύρων! Ποῖος δύναται νά σέ δοξάσῃ ἀξίως; Ὄντως* «μακαρία ἡ γῆ ἡ πιανθεῖσα τοῖς αἵμασιν ὑμῶν, καί ἅγιαι αἱ σκηναί αἱ δεξάμεναι τά σώματα ὑμῶν»!

*Μακαρία εἶσαι, γῆ τῆς Ρωσίας, καθαρθεῖσα διά τοῦ πυρός τοῦ Μαρτυρίου!*



# ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΑΓΙΩΝ ΝΕΟΜΑΡΤΥΡΩΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΩΝ

## ΤΗΣ ΡΩΣΙΚΗΣ ΓΗΣ 1917-1990.

22 Ἰανουαρίου ἂν τύχῃ Κυριακή ἢ τὴν μετ' αὐτὴν Κυριακὴν ἕως 28 Ἰανουαρίου.

### Σαββάτῳ ἑσπέρας

### ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Δόξα. Ἦχος πλ. δ΄.

*Ἡ τῆς Ῥωσίας γῆ, παράδεισος γέγονεν ἐπίγειος, ὡς ἐν ταῖς ῥωγμαῖς αὐτῆς, τὰ σώματα κρύπτουσα, τῶν ἐν αὐτῇ Νεομαρτύρων· φωτιζομένη ἅμα, ἐκ τῆς οὐρανίου δόξης Αὐτῶν, ῥανάντων ταύτην, τῷ ἰδίῳ αἵματι αὐτῶν, κατακρεουργηθέντων, χερσὶ τῶν τοῦ σατὰν ζιζανίων, διὰ τὴν Πίστιν εἰς Χριστόν, καὶ λυτρωθέντων, ἀπὸ τῆς ἁμαρτίας, τῆς ἀποστασίας· ὧν ταῖς πρεσβείαις καὶ ἡμεῖς, πάσης πλάνης ῥυσθείημεν, καὶ τύχοιμεν, τῆς αἰωνίου σωτηρίας.*

Καὶ νῦν. Θεοτοκίον.

Τὸ Δογματικὸν τοῦ μικροῦ ἑσπερινοῦ τοῦ ἤχου.

Ἀπόστιχα, ἦχος α΄. Νεφέλην τε φωτός.

*Ῥωσίας οἱ κλεινοὶ Νεομάρτυρες πάντες, καὶ ἐν ἄθλοις παμμέγιστοι, Χριστοῦ πάθους μιμηταί, καὶ τῆς δόξης κοινωνοί, ἐνώπιον ὑμῶν,*

*γόνυ κλίνοντες πίστει, ἐν πόθῳ δοξάζομεν, ἀγῶνας καὶ σκάμματα, δι᾽ ὧν ἐκηρύξατε, Χριστὸν τὸν Θεάνθρωπον, εὐθαρσῶς ὀρθοδόξως, δεόμενοι, μὴ παύσησθε δυσωπεῖν, Αὐτὸν ὑπὲρ τῶν τιμώντων, ὑμᾶς πανεύφημοι.*

Στίχος (ψαλ. ξε´ 10): "Ὅτι ἐδοκίμασας ἡμᾶς ὁ Θεός, ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον".

*Ὦ ἔνδοξοι Χριστοῦ Νεομάρτυρες ἄρτι, ἐν Ῥωσίᾳ ἀθλήσαντες, ὑμεῖς ὅτε ἐν αὐτῇ, ὑπ᾽ ἀθέων διωγμῶν, ἐξέλιπε πολλῶν, ἡ Ὀρθόδοξος πίστις, αὐτὴν ἐνισχύσατε, ἀτρόμως κηρύξαντες, τυράννων ἐνώπιον, σαρκὸς ἀφειδήσαντες, τῇ ἀγάπῃ τρωθέντες, τῷ ἔρωτι τῷ Θείῳ, πρὸς τὸν Χριστόν, ὅν δυσωπεῖτε τοῦ σῶσαι τοὺς ὑμνητὰς ὑμῶν.*

Στίχος (ψαλ. λγ´ 18): "Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς".

*Οὐκ ἄνθρωποι εἰσίν Ἐκκλησίας σωτῆρες, ἥν ἐχθροὶ οὐκ ἐνίκησαν, ἀλλ᾽ αὕτη σῴζει πιστούς, τῇ δυνάμει τοῦ Χριστοῦ, ὡς δέδεικται σαφῶς, ἐν ὑμῶν τοῖς ἀγῶσιν, ἀήττητοι Μάρτυρες, Ῥωσίας οἱ Νέαθλοι, ὡς δόξα καὶ καύχημα, ἀεὶ χρηματίζοντες, τῆς Χριστοῦ Ἐκκλησίας, δεόμενοι, ἀπαύστως ὑπὲρ αὐτῆς, ἄχρι Χριστοῦ παρουσίας, μεῖναι ἀσάλευτον.*



Δόξα. Ἦχος β´.

*Ὦ θαυμαστὴ στρατιά, τῶν Νέων Ἀθλητῶν τῆς Ρωσίας! τὶς δύναται, ὑμᾶς δοξᾶσαι ἐπαξίως; Ἀληθῶς εὐλογημένη ἐστὶν ἡ γῆ, ἡ ποτισθεῖσα τῷ αἵματι ὑμῶν, καὶ αἱ πόλεις καὶ κῶμαι, μυστικῶς ἡγιασμέναι, ὅτι ἐδέξαντο, τὰ πάντιμα Λείψανα ὑμῶν, πολλάκις ὑπὸ τῆς Ἐκκλησίας, οὐχ ὑμνηθέντα, οὐδὲ ἐντίμως ταφέντα. Ἀλλ᾽ ὅμως εὔξασθε, Ἅγιοι, ὑπὲρ τῆς χώρας ἡμῶν, καὶ πάντων τῶν τιμώντων ὑμᾶς.*

Καὶ νῦν, Θεοτοκίον.

(Μικροῦ ἑσπερινοῦ β´ ἤχου ὀκταήχου).

*Τίς Σε κατ᾽ ἀξίαν ἐπαινέσει, καὶ μακαρίσει Κόρη Θεόνυμφε, ὑπὲρ τῆς διὰ Σοῦ γεγονυίας τῷ κόσμῳ ἀπολυτρώσεως; Εὐχαριστοῦντες οὖν κραυγάζομέν Σοι λέγοντες· Χαῖρε ἡ τὸν Ἀδὰμ θεώσασα, καὶ τὰ διεστῶτα συνάψασα. Χαῖρε ἡ φωτίσασα τὸ γένος ἡμῶν, τῇ φωτοφόρῳ Ἀναστάσει τοῦ Υἱοῦ Σου καὶ Θεοῦ ἡμῶν· σὲ γὰρ Χριστιανῶν τὸ γένος, ἀπαύστως μεγαλύνομεν.*

Ἀπολυτίκιον. Τόν Συνάναρχον. πλ. α´.

*Τῆς Ρωσίας ἁπάσης οἱ Νεομάρτυρες, Ἀρχιεράρχης ὁ Τύχων, Ἱεραρχῶν ἡ πληθύς, Ἱερέων Διακόνων καί Μοναχῶν, πάντες πιστοί καί λαϊκοί, ὡς γενναῖοι Ἀθληταί, ἐρρίφθητε εἰς ἀγῶνας, καί ᾽μαρτυρήσατε πάντες, Θείᾳ δυνάμει τοῦ Στεφοδότου Χριστοῦ.*

Ἕτερον, ἦχος δ΄, "ταχὺ προκατάλαβε"

Κλεινοὶ Νεομάρτυρες, οἱ τῆς Ρωσίας βλαστοί, ἀθέων τὸ φρύαγμα, ὑπομονῇ αἰκισμῶν, θανάτῳ βιαίῳ τε, ἅπαν καταβαλόντες, Ὀρθοδόξῳ τῇ πίστει, εὕρατε παῤῥησίαν, πρὸς Χριστὸν ὅν αἰτεῖσθε, τοῦ σῷσαι τοὺς ὑμᾶς ὕμνοις, πάντως γεραίροντας.

Ἕτερον, ἦχος δ΄.

Ἅγιοι Μάρτυρες Ἱεράρχαι, ποιμένες καὶ Μοναχοί, καὶ Λαϊκῶν ἡ πληθύς, ἄνδρες Ὁμολογηταί, καὶ γυναῖκες καὶ παῖδες, τῆς Ρωσίας, τοῦ πνευματικοῦ λειμῶνος ἄνθη, οἱ θαυμαστῶς ἀνθήσαντες, ἐν ὥρᾳ θλιβερῶν διωγμῶν, καρποὺς ἐνεγκόντες, τῶν βασάνων ὑπὲρ Χριστοῦ, τοῦ ὑμᾶς φυτεύσαντος, ὅν ἱκετεύσατε, ῥύσασθαι τὸν Λαὸν Αὐτοῦ, ἐξ ἀθέων καὶ κακῶν ἀνθρώπων, τοῦ ἀκλόνητον μεῖναι, τὴν Ἐκκλησίαν τῆς Ῥωσίας, ἐρηρεισμένην ὑμῶν τῷ αἵματι καὶ ταῖς αἰκίαις, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον αὐτόμελον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ Σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τάς ψυχὰς ἡμῶν.



# ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Δ΄ Ἀναστάσιμα καὶ στ΄ τῶν Νεομαρτύρων.

Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος!

Δεῦτε εὐλαβῶς ὑμνήσωμεν, τοὺς Θεοῦ ἐκλεκτούς, καὶ νεάθλους Μάρτυρας, ἁγνίσαντας ἑαυτούς, φρικταῖς κολάσεσι, Ἀμπέλου τῆς τοῦ Χριστοῦ, ἀναδειχθέντας πολύκαρπα κλήματα, τῆς Χάριτος ὑετῷ, ἀρδευομένης γλυκεῖς ὄντως βότρυας, Ἁγιότητος εὐώδεις, τοῖς ἀγῶσι πίστεως, ἐκφυούσης λιταῖς ὧν, τὴν μετάνοιαν κτησώμεθα.

Ὄρη τοῦ Κιέβου τίμια, εὐλογίας Σταυροῦ, Ἀποστόλου μέτοχα, Ἀνδρέου καὶ νῦν φρικτοῦ, καινοῦ Βαπτίσματος, Ρωσίας δι' οὗ ἡ γῆ, κατεβαπτίσθη Μαρτύρων τοῖς αἵμασιν, ὡς ὕδατι ἐν τῷ πρίν, λαὸς Ρωσίας Ἁγίῳ τε Πνεύματι, ἐβαπτίσθη· αὖθις ἄρτι, Βλαδιμήρου αἵματι, τοὺς σφαγεῖς συγχωροῦντος, ἐβαπτίσθητε Συνάθλοις τε.

Νέῳ Βλαδιμήρῳ Μάρτυρι, ὡς Στεφάνῳ τῷ πρίν, στέφος Πρωτομάρτυρι, ἐδόθη ὡς κατ' αὐτόν, συγγνώμην νείμαντι, σφαγεῦσι τοῖς ἑαυτοῦ, ἐξ ἀμπελῶνος αὐτὸν τοῖς ἁρπάσασι, διά τε πύλης ὠμῶς, Ἁγίας Λαύρας Σπηλαίων ἑλκύσασι, πρὸς σφαγὴν καὶ τοὺς δημίους, εὐλογοῦντα ἑαυτοῦ, καὶ Χριστὸν δυσωποῦντα, τοῦ σωθῆναι τάς ψυχὰς ἡμῶν.

Θρῆνος, μέλος ἅμα καὶ οὐαί, ὁ Προφήτης κράζει, κεφαλίδα[1] γράφουσαν, κατέφαγες κορεσθείς, γλυκείας γεύσεως, ὦ Τύχων μαρτυρικῆς, ὁμολογίας ὀτρύνων τὸ ποίμνιον, καὶ πάντας Ἀρχιερεῖς, πρὸς ὑπεράσπισιν θείας τῆς Πίστεως, ἀναθεματίσας πάντας, τοὺς ναοὺς κρημνίζοντας, καὶ ἀναίδην καλοῦντας, ἑαυτοὺς πιστοὺς ὡς ἄφρονες.

Ἄναξ ὦ πολύτλα Ἅγιε, ὁ πολλὰ πεπονθώς, Νικόλαε ἔνδοξε, καὶ Ἄνασσα, εὐσεβής, σὺν Ἀλεξίῳ τε, σὺν Ὄλγᾳ τε τῇ σεμνῇ, καὶ Τατιάνῃ ὁμοῦ σὺν Μαρίᾳ τε, μεθ' ὧν καὶ ἡ εὐκλεής, Ἀναστασία ἡ σύναθλος ἤθλησεν, οἱ ἑπτὰ ὑπὲρ τῆς θείας, Ὀρθοδόξου πίστεως, ὡς σφαγέντες αἰτεῖσθε, τὸν Χριστὸν ἡμᾶς λυτρώσασθαι.

Ἦχος δ΄. Ὁ ἐξ Ὑψίστου κληθείς.

Σὺ ταπεινὸς μὲν ἀλλ' ἄσειστος ὡς πύργος, ὤφθης Πετρουπόλεως, κἂν κατακέκρισαι, Βενιαμὶν Ἱερόαθλε, ἐκ προδοσίας, ὑφ' ἱερέων ψευδῶν τοῖς ἄρχουσι, νέοις κοπρωνύμοις τε, καὶ θεομάχοις, φεῦ! ὁ γὰρ Θεὸς σε ἀτρόμητον, ἔδειξε πᾶσι, σταυροῦ σημείῳ καθυπογράφοντα, μὴ δειλιῶντα τοὺς δικάζοντας, οὓς σοῖς λόγοις ἐκπλήξας ἐδόξαζες, τὸν Θεὸν ὅπ[illegible]σώπει, τοῦ σωθῆναι τοὺς τιμῶντάς σε.

1. Ἰεζ. Β. 8-10 καὶ Γ. 1-4



Ἐν βαθεῖ λάκκῳ τῷ φρέατι ὁμοίῳ, ζῶντες ἐνετάφητε, Θεοῦ ὡς θύματα, ὧν Ἐλισάβετ πριγκίπισσα, ἡ ἐλεήμων, καὶ γενομένη πιστὴ ὀρθόδοξος, πρώτη ἠγωνίσατο, ὑπὲρ τῆς Πίστεως, τῆς ἀμωμήτου ἐν Νέᾳ δέ, αὐτῆς πατρίδι, Ῥωσίᾳ οὖσα Γερμανὶς πρότερον, χριστομιμήτως συγχωρήσασα, τοὺς σφαγεῖς τοῦ συζύγου καὶ χαίρουσα, σὺν Βαρβάρᾳ συνάθλῳ, ὑποστᾶσα τὸ μαρτύριον.

Ὑπὲρ ἡμῶν νῦν δεήθητε βοῶμεν, Νέοι Χριστοῦ Μάρτυρες, πρίγκηπες Ἅγιοι, ἡ Ἐλισάβετ καὶ σύναθλος, πιστὴ Βαρβάρα, ἡ ἐν ἀσκήσει καλῶς διαλάμψασα· ὄντως οὐρανόφρονες, ἐμαρτυρήσατε, ἡ τῶν ὀκτὼ Ἁγιώνυμος, σεπτὴ χορεία, μεθ' ἧς οὐράνιοι ἱκετεύουσι, χοροὶ Ἀγγέλων καὶ Μαρτύρων τε, τὸν Χριστὸν τοῦ σωθῆναι τοὺς ᾄσμασιν, ἐτησίως τιμῶντας, τὴν σεπτὴν ὑμῶν πανήγυριν.

Δόξα. Ἦχος πλ δ΄.

Τὸ ὑμῶν ἀκλόνητον θάῤῥος, ἡ δόξα ἐστί, τῆς Ἐκκλησίας τῆς Ῥωσίας, ὦ Νέοι Μάρτυρες, οἱ ὑπομείναντες τὰ πάθη, καὶ ὁμολογήσαντες, τὴν Ὀρθόδοξον Πίστιν, οἱ ὄντες μαθηταί, τοῦ Φιλίππου καὶ Ἑρμογένους, καὶ ἀκόλουθοι, τοῦ πολύτλα Πατριάρχου Τύχωνος, τοῦ δεδωκότος ὑμῖν καὶ τὸ ὄνομα. Δεδιωγμένοι καὶ ἐσφαγμένοι, τῶν μαρτυρίων τὴν δοκιμασίαν, ἀπτοήτως ὑπεμείνατε. Καὶ τὶς ἀριθμῆσαι δύναται, τὸ

*πλῆθος τῶν βασάνων ὑμῶν, καὶ τῶν πικρῶν θανάτων; Ὅμως ἀνεδείχθητε Χριστοῦ κήρυκες, τοῖς συνδεσμώταις ὑμῶν, τοῖς οὖσι πρότερον ἀπίστοις, καὶ τελεσταὶ τῶν Ἁγίων Μυστηρίων. Μεγάλη ἡ ἀγάπη ὑμῶν πρὸς τὸν Χριστόν, μεγάλη ὑμῶν ἡ πίστις! Ἐν πᾶσι ἀνεδείχθητε, ὑπηρέται τοῦ Θεοῦ, πρὸς ὅν πρεσβεύετε, ὑπὲρ τῶν τιμώντων ὑμᾶς.*

Καὶ νῦν, τοῦ ἤχου

Εἴσοδος, "Φῶς Ἱλαρόν", τὸ προκείμενον.

Ἀναγνώσματα τὰ εἰς Μάρτυρας προφ Ἠσαΐου *"πάντα τὰ ἔθνη συνήχθησαν ἅμα ..."*

Σοφίας Σολομῶντος *"Δικαίων ψυχαί..."* καί *"Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι"*.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα, Ἦχος πλ δ΄.

*Συναγαγέτωσαν ἡμᾶς πάντας, οἱ φαιδροὶ Ἄγγελοι τοῦ Θεοῦ, καὶ συνευφρανθείημεν αὐτοῖς, ὡς καὶ αὐτοὶ ἐπὶ ἑνὶ ἐξ ἡμῶν, ἁμαρτωλῷ μετανοοῦντι, χαίρουσιν ὡς εἶπεν ὁ Χριστός, μάλιστα δὲ χαίρουσιν, διὰ τὸ πλῆθος τῶν Νέων Ἁγίων, Μαρτύρων τε καὶ Ὁμολογητῶν, τῆς Ὀρθοδόξου Ἐκκλησίας τῆς Ῥωσίας, τῶν διαλαμψάντων ἐν μαρτυρίοις, ὧν ὑπὲρ Χριστοῦ ὑπήνεγκαν, βασάνους τε καὶ πόνους. Ἰδοὺ γὰρ ὁ Ἄναξ, σὺν τῇ Ἀνάσσῃ τε καὶ τέκνοις, καὶ ὁ Πατριάρχης, οἱ Ἅγιοι ἅμα Ἱεράρχαι, Ἱερεῖς τε καὶ Μοναχοί, καὶ ἄνθρωποι παντὸς ἐπιτηδεύματος, δεδοκιμασμένοι διὰ δουλείας, πολλῶν τε στερήσεων, καὶ ἀνηκεστάτων βασάνων, μαρτυρικοῦ τε θανάτου, ζωῆς προξένου αἰωνίου· δι' ὅ καὶ δέδοται αὐτοῖς, ἡ χάρις τοῦ πρεσβεύειν ὑπὲρ ἡμῶν, ὅτι γεγόνασι βασίλειον ἱεράτευμα, καὶ ἐλπὶς ἀνακαινίσεως, τῆς νέας καθ' ἡμᾶς γενεᾶς, ὡς κήρυκες τοῦ ἐλέους, τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, τοῦ καλέσαντος αὐτούς, ἐν χώρᾳ ζώντων, καὶ Θείου δείξαντος μετόχους φωτός.*



Ἦχος ὁ αὐτός.

Δόξα. καὶ νῦν. Θεοτοκίον.

*Ὦ ἔνθερμε βοηθέ, ἑτοίμη χαρὰ τῶν τεθλιμμένων, ἀναψυχὴ καὶ παράκλησις, τῶν ἐν πειρασμοῖς σε ἐπικαλουμένων, ὦ Παναγία Κυρία Θεοτόκε, ἰδὲ τοὺς ἐρειπωμένους, Ναοὺς τοῦ Υἱοῦ Σου, ἐνώτισαι τοὺς χλευασμούς, οὓς ὑπομένουσιν οἱ δοῦλοι Αὐτοῦ, ὑπὸ ἀθέων τῶν βλασφήμων· εἰσάκουσον τῶν στεναγμῶν, τῶν δούλων Αὐτοῦ, καὶ Σὺ μετὰ τῶν Μαρτύρων, βοήθησον αὐτοὺς καὶ ἐλέησον.*

Ἀπόστιχα τὰ Ἀναστάσιμα.

Δόξα. Ἦχος πλ β΄.

*Ὦ Ἅγιοι καὶ μάλα ταπεινοὶ Ἱερεῖς, καὶ Ὁμολογηταί, εἴδομεν ὑμᾶς ἐν καιρῷ τῶν διωγμῶν, τῶν οἰκιῶν ὑμῶν μακρὰν ἐκδιωχθέντας· εἴδομεν ὑμᾶς λιμοκτονοῦντας, προσβεβλημέ-*

*νους ὑπὸ σκορβούτου· εἴδομεν ὑμᾶς τὸ κάλλος ἀπωλέσαντας, καὶ ὁλοσωμάτοις καὶ αἱμασσούσαις, ἐκ τῶν μαστίγων πληγαῖς κεκαλυμμένους, ὑπὸ δὲ τῶν ὑμῶν φυλάκων, ὕπνου τε κωλυομένους. Ἀκηκόαμεν θρηνοῦντας ὑμᾶς, διὰ τὰ ἐγκαταλειφθέντα τέκνα ὑμῶν, καὶ τάς αὐτῶν ἀπροστατεύτους μητέρας. Τίς ὑμῶν τοῦ πλήθους τῶν ὀνομάτων, δυνηθείη μνησθῆναι; Τίς ἂν διηγήσαιτο τῷ κόσμῳ, πάσας ὅσας ὑπὲρ Χριστοῦ, ὑπεμείνατε αἰκίας; Ἀλλ' ἔγνω ὁ Θεὸς τοὺς ἐκλεκτοὺς Αὐτοῦ τοὺς τάς τοῦ Θείου Βαπτίσματος, πρὸς Αὐτὸν ὑποσχέσεις φυλάξαντας, καὶ δὴ μέχρι θανάτου, ἐξ οὗ τὴν παῤῥησίαν ἐκτήσαντο, τοῦ πρεσβεύειν Αὐτῷ ὑπὲρ ἡμῶν.*

Καὶ νῦν. Θεοτοκίον Ἀναστάσιμον

Ἀπολυτίκια ὡς ἐν μικρῷ ἑσπερινῷ.

Μεγαλυνάριον πρὸς τὸ: "τὴν τιμιωτέραν".

*Μάρτυρες Ῥωσίας οἱ εὐκλεεῖς, οἱ νεοφανέντες, καὶ στεῤῥοὶ Ὁμολογηταὶ, ὑμᾶς εὐφημοῦμεν, ὑπὲρ Χριστοῦ βασάνους, φρικτὰς ὡς ὑποστάντας, ὑφ' Οὗ ἐστέφθητε.*

Ἕτερον Μεγαλυνάριον

*Τῶν Νεομαρτύρων ἡ καλλονή, καύχημα Ρωσίας, οἰκουμένης ἀγλάϊσμα, Τύχων ὁ παμμάκαρ, σύν τοῖς λοιποῖς Ἁγίοις, πρός Κύριον ἀπαύστως ἀεί πρεσβεύσατε.*



# ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἐξάψαλμον.

Τὸ "Θεὸς Κύριος" εἰς τὸν ἦχον τῆς Κυριακῆς.

Τὸ Ἀναστάσιμον Ἀπολυτίκιον.

Τὸ πρῶτον τῶν Μαρτύρων.

Δόξα τὸ δεύτερον τῶν Μαρτύρων

Καὶ νῦν. "Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον"

Εἰς α´ στιχολογίαν καθίσματα τὰ Ἀναστάσιμα καί

Ἦχος α´. Τοῦ λίθου σφραγισθέντος.

*Διήλθετε ἀνδρείως, διὰ πυρὸς βασάνων[1] ὕδατός τε ἅμα δακρύων, Ῥωσίας Ἀθλοφόροι, οἱ νέοι καὶ Ὁμολογηταί, Ἁγίων τοῖς χοροῖς ὑπὸ Χριστοῦ, ἐνταχθέντες ὡς ἐν τόπῳ ἀναψυχῆς, πρεσβεύοντες ὑπὲρ πάντων· δόξα τῷ ἀναδείξαντι ὑμᾶς, δόξα τῷ ὑμᾶς στέψαντι, δόξα τῷ χορηγοῦντι δι' ὑμῶν, ἡμῖν τὸ ἔλεος.*

Εἰς β´ στιχολογίαν

καθίσματα τὰ Ἀναστάσιμα καί

Ἦχος α´. Τοῦ λίθου σφραγισθέντος.

*Θεὸν ἠγαπηκότες, ὑπὲρ Αὐτοῦ προθύμως, ἐπὶ γῆς βασάνους δριμείας, πρὸς τὸ ὑμῖν συμφέρον, ὑπέστητε καὶ ὡς ἐκλεκτοί, ἐλάβετε Θείας δωρεάς, αἰωνίαν εὐλογίαν τε παρ' Αὐτοῦ, ὑμῖν ὡς προυπισχνεῖτο. Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ δωρουμένῳ ἡμῖν τὴν σωτηρίαν ἡμῶν.*

Πολυέλεος καὶ ἡ εἰς Μάρτυρας ἐκλογὴ καὶ τὰ Εὐλογητάρια, *(ἄνευ δοξαστικοῦ τοῦ πολυελέου, διότι τὰ εὐλογητάρια ἔχουσι Τριαδικὸν δοξαστικὸν καὶ Θεοτοκίον)*

Εἶτα ἡ ὑπακοὴ τοῦ ἤχου καὶ Καθίσματα τῶν Μαρτύρων τὰ μετὰ τὸν πολυέλεον.

Ἦχος γ΄. Θείας πίστεως

*Ἐξελάμψατε, ἐν Ἐκκλησίας, στερεώματι, ὦ Ἱεράρχαι, τῆς Ῥωσίας δι' ἀθλήσεως Ἅγιοι, ὁ Πατριάρχης ὁ Τύχων ὁ πάνσεπτος, ὡς κατ' ἐχθρῶν τοῦ Σταυροῦ τὸ ἀνάθεμα, ζήλῳ πίστεως, καθάπερ πυρὶ φλογίζοντι, τυπώσας αἰωνίως τὸ ἀνέκκλητον.*

Δόξα. ὅμοιον.

*Ὁ Βλαδίμηρος, ὁ τοῦ Κιέβου, νέος νῦν καρπός, Ῥωσίας κήπου, καὶ φωστὴρ Βενιαμὶν Πετρουπόλεως, ὁ παιδιόθεν ποθῶν τὸ μαρτύριον, οὗ ἠξιώθη δι' ὅ συνευφράνθητε, σὺν Συνάθλοις νῦν, βοῶμεν ὑμῖν πρεσβεύσατε, ὑπὲρ ἡμῶν Χριστῷ Ἱερομάρτυρες.*

Καὶ νῦν ἦχος ὁ αὐτός,

Θεοτοκίον. Αὐτόμελον.

*Τὴν ὡραιότητα τῆς παρθενίας Σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς Ἁγνείας Σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα Σοι Θεοτόκε· ποῖόν Σοι ἐγκώμιον, πρασαγάγω ἐπάξιον; τὶ δὲ ὀνομάσω Σε; ἀπορῶ καὶ ἐξίσταμαι· διό ὡς προσετάγην βοῶ Σοι· Χαῖρε ἡ Κεχαριτωμένη.*



Ἐν Κυριακῇ οἱ ἀναβαθμοὶ τοῦ ἤχου, τὸ προκείμενον καὶ ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου.

(Ἐὰν ὁ Ναὸς τιμᾶται ἐπὶ τῇ Μνήμῃ τῶν Νεομαρτύρων, μετὰ τὸ προκείμενον τῆς Κυριακῆς καὶ προκείμενον ἦχος δ΄, Ψαλ. μγ΄. 23
*"Ἕνεκά σου, ὁ Θεός, θανατούμεθα ὅλην τὴν ἡμέραν"* (Δίς). μετὰ
Στίχος: "Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς"
καὶ πάλιν: *"Ἕνεκά σου, ὁ Θεός..."*)

Εὐαγγέλιον Ἑωθινὸν ἔνδον τοῦ βήματος καὶ τῶν Μαρτύρων ἐν ὡραίᾳ Πύλῃ Τετάρτης Γ΄ ἑβδομάδος τοῦ Ματθαίου (Ματθ. Ι΄. 16-22)

*"Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων".*

Μετὰ τὸν Ν΄ ψαλμόν. Ἦχος β΄.

Δόξα. Ταῖς τῶν Ἀποστόλων καὶ τῶν Νεομαρτύρων...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

*Ἐλεῆμον, Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου.*

Ἀναστὰς ὁ Ἰησοῦς...

Καὶ τὸ λοιπὸν τοῦ στίχου. Ἦχος δ΄.

Καὶ *"κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου".*

Ἦχος δ΄. Ἰδιόμελον.

*Οἱ ὑπομείναντες τὰ πάθη, Ὁμολογηταί, ἀπεφάνθησαν ἀληθεῖς Μάρτυρες, τῆς Ἀναστάσεως τοῦ Χριστοῦ, δι' οὓς καὶ προτεθήκαμεν, ταύτην τὴν πανδαισίαν· πῶς γὰρ ἂν ἦραντο, τὸν σταυρὸν ἑαυτῶν, εἰ οὐκ ἐγίνωσκον, ὅτι οὐκ*

*ἄξια τά παθήματα τοῦ νῦν καιροῦ πρός τὴν μέλλουσαν αὐτοῖς, δόξαν ἀποκαλυφθῆναι, ὡς ἔφη τό Σκεῦος τῆς ἐκλογῆς; ὧν ταῖς πρεσβείαις Χριστέ, σῶσον τάς ψυχὰς ἡμῶν.*

(Τό ὡς ἄνω ψάλλεται, ὅταν ὁ Ναὸς τιμᾶται ἐπ' ὀνόματι τῶν Νεομαρτύρων).

Εἶτα ἡ στιχολογία τῶν ᾠδῶν

καὶ οἱ **Κανόνες**, ὁ Ἀναστάσιμος, ὁ τῆς Θεοτόκου, τοῦ Τριῳδίου εἴ ἔστι, καὶ τῶν Νεομαρτύρων.

Ὠδὴ α΄. Ἦχος πλ β΄.

Ὁ εἱρμὸς (Μ. Σαββάτου)

*Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι διώκτην τύραννον, ὑπὸ γῆν ἔκρυψαν, τῶν σεσῳσμένων οἱ παῖδες· ἀλλ' ἡμεῖς ὡς αἱ νεάνιδες, τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται».*

*Κύριε Θεέ μου, τὴν δόξαν ἀτύφως βοήθει ᾆσαί με, Νέων Μαρτύρων Σου, τῶν τῆς Ῥωσίας οἷς πύλας, οὐρανοῦ Αὐτὸς ἠνέῳξας, ἐξ ἀγάπης ἕνεκεν, ὀδύνης ἧς ὑπέμειναν.*

*Κύριε Θεέ μου, ὁ ἔκπαλαι δόξῃ τιμῶν Σου Μάρτυρας, ὧν καὶ τὰ Λείψανα, ἐν Ἐκκλησίαις ἁπάσαις, δι' Ἐγκαίνια νενέμηνται, καὶ Μαρτύρων Νέων Σου, τὰ Λείψανα νῦν δόξασον.*

*Ὦ Ἅγιε Μάρτυς, Νικόλαε ἄναξ ὁ θρόνου ἔκπτωτος, βίᾳ γενόμενος, ὡς Βασιλεῖ οὐρανίῳ, μείνας ὄντως πιστὸς πρέσβευε, ἐν δεινοῖς δωρήσασθαι, ἡμῖν θείαν παράκλησιν.*



*Τύχων Πατριάρχα, παιδεύσας ὁ τέκνα σου τὰ ἀνήκοα, ξυλίνην ῥάβδον τε, λαβὼν παρὰ Βλαδιμήρου, τοῦ πριμάτου Πέτρου σύ, πλανηθέντα ὄρεσιν, ὡς πρόβατόν με ζήτησον.*

Θεοτοκίον.

*Ὅθεν μεταστᾶσα, τὸν κόσμον Παρθένε οὐκ ἐγκατέλειψας, γῆν τῆς Ῥωσίας δέ, οὐκ ἀπηρνήσω ἀλλ' ἔτι, δοξασθῆναι ἐπηυδόκησας, ἐν Νεάθλοις Μάρτυσι, τοῖς τούτων ἀγωνίσμασι.*

ᾠδὴ γ΄. ὁ εἱρμός.

*Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως, ἡ κτίσις κατιδοῦσα, ἐν τῷ κρανίῳ κρεμάμενον, θάμβει πολλῷ συνείχετο, οὐκ ἔστιν Ἅγιος, πλὴν Σου Κύριε κραυγάζουσα.*

*Ἔπαινον ὑμῖν ποῖον, προσοίσωμεν Μάρτυσι τοῖς τοῦ Λόγου, γενναίοις καὶ Ποιμέσι, τοῖς λογισθεῖσιν ὡς πρόβατα, τὰ πρὸς σφαγὴν ἐπάξιον; οὐκ ἔστι ῥᾴδιον, ἀλλ' ἐν ὕμνοις ὑμᾶς στέφομεν.*

*Σοὶ ὡς πρωθιεράρχῃ, Βλαδίμηρε ὁμώνυμε Ἁγίου, τοῦ φωτιστοῦ Ῥωσίας, ἥρμοζε πρώτῳ ἐνάρξασθαι, ἄθλων ὑπὲρ τῆς πίστεως, πρὸς θείαν ἅμιλλαν, θεοστέπτους ἕλξαι Μάρτυρας.*

*Ἐν τῇ γενναίων τάξει, τῆς πόλεως τῆς τοῦ Ἁγίου Πέτρου, ὁρῶμεν Ἱεράρχα, Βενιαμὶν σε φιλούμενε, ὑπὸ σῆς ποίμνης ὡς ὁ πρίν, υἱὸς τοῦ Ἰακώβ, σοῦ συνώνυμος πεφίληται.*

Πρῶτος ἐν παρατάξει, σύ δέδειξαι τῶν νέων Ἱεροάθλων, Θεοῦ στάς πρό τοῦ θρόνου, ὦ Ἰωάννη πανάριστε, τοῦ Τσάρσκογιε Ἱερουργέ, λόγῳ ἀνδρείᾳ τε, πρό δημίων ἀπαράμιλλος.

Σὺν τοῖς μνημονευθεῖσιν, ἡ σύμπασα τῶν Ἱερομαρτύρων, τῶν Νέων θεοδέκτοις, ὑμῶν πρεσβείαις δεόμεθα, χεῖρας ἡμῖν ὀρέξατε, πρὸς τὴν βοήθειαν, τοῖς ὑμνοῦσιν ὑμᾶς ἔνδοξοι.

**Θεοτοκίον.**

Εὔσπλαγχνε Θεομῆτορ, ἀπείρανδρε μόνη Ἁγνή Παρθένε, ἡ ἐν τῇ τοῦ Υἱοῦ σου, σταυρώσει Τούτῳ συμπάσχουσα, ἄλγει ψυχῆς σὲ ἔγνωμεν, ἐν τῇ Ῥωσίᾳ τε, καὶ διασπορᾷ μεσίτριαν.

**Κοντάκιον τῶν Νεομαρτύρων.**

**Ἦχος β΄. Χειρόγραφον εἰκόνα**

Ὑμεῖς ὦ Νέοι Μάρτυρες τῆς Ῥωσίας, οἱ ἐν γῇ τὸν βίον ὁμολογίᾳ, Ὀρθοδόξου τῆς πίστεως, ἐν βασάνοις τελέσαντες, δι᾽ ὧν καὶ πρὸς Χριστόν, τὴν παῤῥησίαν ἐκτήσασθε, Αὐτὸν ἐκδυσωπεῖτε, δοῦναι ἡμῖν τὸ σθένος, ὑμᾶς τοῦ ἐκμιμεῖσθαι, οὓς οὐ δεσμὰ οὐδὲ σφαγαί, τοῦ Θεοῦ χωρῖσαι ἴσχυσαν.

**Ὁ οἶκος, πρὸς τὸ: "*Ἔκτεινόν σου τὴν χεῖρα*".**

Ὅτε ἐν τῇ Ῥωσίᾳ, ἡ θλῖψις κατ᾽ Ἐκκλησίας, πυρὶ διωγμῶν ἐπέστη, καὶ ὁ Κύριος οὐκ ἤθελε, δῶρα ἐξ ὕλης φθαρτά, καὶ ἀναθήμασιν οὐκ ἠρέσκετο, Ἱερεῖς πολλοί, Ἱεράρχαι τε οὐ



προσέφερον, τοιαῦτα τῷ Θεῷ, νοοῦντες τὴν Θεοῦ βουλὴν, ἑαυτοὺς δ᾽ ὡς θυσίαν ἤνεγκαν, ἄμωμον καθάπερ, Χριστῷ δι᾽ ἧς εἰς Ἅγια, τῶν Ἁγίων ὡς Αὐτὸς εἰσβεβήκασι· δοξάσωμεν οὖν μιμούμενοι, μέλποντες τοὺς ἀγῶνας αὐτῶν, οὓς οὔτε θλίψεις, οὐ δεσμὰ, οὐδὲ σφαγαί, τοῦ Θεοῦ χωρῖσαι ἴσχυσαν.

**Κάθισμα, ἦχος πλ. δ΄.**

**Τὴν Σοφίαν καὶ λόγον.**

Τῆς σαρκὸς ἀσθενείᾳ ὥσπερ ἡμεῖς, ὑποκείμενοι ὕψει τῶν παλαιῶν, Πατέρων ἐφθάσατε, τῆς Ῥωσίας πανεύφημοι, οἱ Ὁμολογηταὶ νῦν, Μονῇ τοῦ Σολόφσκι τε, καὶ φυλακαῖς ἐν ἄλλαις, εἱρχθέντες ἐξόριστοι, ἔνθα καὶ αἱ θλίψεις, ὑμῶν ηὔξηνται πλέον, σὺν αἷς καὶ παράκλησις, πρὸς ὑμᾶς ἡ θεόπεμπτος, καὶ εἰς χώραν εἰσήλθετε, μακαρίας ἀνέσεως, ἄφθαρτον ὁρῶντες τὸ φῶς, τῆς Βασιλείας Χριστοῦ ὅν μὴ παύσησθε, ἱκετεύοντες, τάς ψυχὰς ἡμῶν ῥύεσθαι.

**Δόξα. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.**

Ἀγροτῶν ἦν γονέων Ἱερεὺς ὁ Ἀλέξιος, ὅς καί τήν ζωήν αὐτοῦ θύσας ἀντί ἄλλου συλλειτουργοῦ· τό στέφος ἐκομίσατο λαμπρῶς ὡς Πέτρος ὁ ὁμόφρων Ἱερεύς, ὅς εἰς στόμα αὐτοῦ ἔλαβε τήν βολήν, Μαρτύρων κατέστη κλέος. Δόξα τῷ ἐνισχύσαντι Χριστῷ τούτους πρός τό Μαρτύριον. Δόξα τῷ Ἀθλοθέτῃ αὐτῶν τῶν πρεσβευτῶν δι᾽ ἡμᾶς.

Καὶ νῦν. Ἦχος α΄.
Γυναῖκες πρὸς τὸ Μνῆμα.

Ἡμῶν τῆς γενεᾶς οἱ Νεομάρτυρες χαίρουσι, πρὸς τήν τοῦ Κυρίου χωροῦντες ὑπαντὴν ὄν ὑπήντησεν, ὁ πρέσβυς τῷ πάλαι Συμεών, ἀπόλυσιν βίου ἐκζητῶν, ὧν λιταῖς ἡμῖν παράσχου, Χριστὲ βεβαίαν τῶν πταισμάτων ἄφεσιν, λιπεῖν ἐν εἰρήνῃ τὴν ζωήν, μεθ' ὧν καὶ Θεοτόκου ταῖς εὐχαῖς, καὶ τῶν ὧδε νῦν ὑμνουμένων, ἐκλεκτῶν Ὁμολογητῶν Σου, πάντων δ' Ἁγίων ὁμοῦ.

ᾠδὴ δ΄. ὁ εἱρμός.

Τὴν ἐν Σταυρῷ Σου θείαν κένωσιν, προορῶν Ἀββακούμ, ἐξεστηκὼς ἐβόα· Σύ δυναστῶν διέκοψας, κράτος Ἀγαθέ, ὁμιλῶν τοῖς ἐν ᾅδῃ, ὡς Παντοδύναμος.

Ἡ μιανθεῖσα γῆ ταῖς πράξεσι, τῶν ἀθέων ἐχθρῶν, ηὐλόγηται καὶ πάλιν, αἵματι ῥαντισθεῖσα σῶν, Σῶτερ Ἀθλητῶν, ποταμῶν τε θαλάσσης, πνιγέντων ὕδασι.

Ἱερομάρτυς λύχνε τοῦ Τομπόλσκ, ὁ συνώνυμος ὤν, τῆς Μόσχας Ἑρμογένους, ὡς φλὸξ σὸς βίος ἔλαμψε· Τούρα ποταμός, οὐκ ἴσχυσε σβέσαι· ἡμῶν μνημόνευε.

Φρικτὰς βασάνους καθυπέμεινεν, ὁ ποιμὴν ὁ τοῦ Πέρμ, Ἀνδρόνικος ὀτρύνας, τὸ ποίμνιον ὀμόσαι τε, κατὰ τῶν ἀρχῶν, τῶν ἀθέων τυράννων, Μάρτυς γενόμενος.



Καὶ Ἱεράρχης ὁ τοῦ Τσέρνιγκοφ, ἐρευνῶν σὺν πολλοῖς, Βασίλειος τὸν τρόπον, σφαγῆς τοῦ Ἀνδρονίκου, ἤθλησαν ὁμοῦ, πρὸ Κυρίου ἑστῶτες, ὡς Νεομάρτυρες.

Ὑπὸ Ῥαζὶν σφαγέντα Ἰωσήφ, Ἱεράρχην τὸ πρίν, δοξάσας Μητροφάνης, καὐτὸς σφαγὴν ὑπήνεγκεν, σύν τῷ Λεοντίῳ, Ἀστραχὰν Ἱεράρχαι, οὖν οἱ τρισμακάριοι.

Θεοτοκίον.

Ἐκ τῶν χειρῶν πιστῶν ἡρπάγησαν, ὑπ' ἀθέων Ἁγνῆς, παρθένου Θεοτόκου Εἰκόνες ἐκ καρδίας δέ, Ὁμολογητῶν, ἐν δεσμοῖς καὶ βασάνοις, οὐκ ἀνεσπάσθησαν.

ᾠδὴ ε΄. ὁ εἱρμός.

Θεοφανείας Σου Χριστέ, τῆς πρὸς ἡμᾶς, συμπαθῶς γενομένης, Ἠσαΐας φῶς ἰδὼν ἀνέσπερον, ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν· ἀναστήσονται οἱ νεκροί, καὶ ἐγερθήσονται, οἱ ἐν τοῖς μνημείοις, καὶ πάντες οἱ γηγενεῖς, ἀγαλλιάσονται.

Πέτρε καὶ Κύριλλε ὑμεῖς, κἂν οὐ ταὐτοῦ, τοῦ χαρακτῆρος ὅμως, ἡνωμένοι πίστει ἐν τῷ πνεύματι, ἐξορίας τόπῳ ἐτηρήσατε, Ἐκκλησίας τὸ ἀκραιφνές, δίκαιον ὤφθητε, Θεοῦ βασιλείας, πολῖται ὑπὲρ ἡμῶν, ἀεὶ πρεσβεύοντες.

Τῆς Ἐκκλησίας Γιαροσλάβ, Ἄγγελος σύ, Ἀγαθάγγελε ὤφθης, καὶ εὐφραίνου νῦν μετὰ τῶν φίλων σου ἀδελφῶν τῶν σῶν γὰρ κεχώρισαι, μὴ στοιχούντων ὡς σύ στεῤῥῶς, θεσμοῖς

δικαίοις τε, τοῖς τῆς Ἐκκλησίας, Ἀγγέλων φανείς χαρά, σταυρῷ στερήσεων.

Σύ τοῦ Μεγάλου Νόβγκοροντ, κλέος νῦν εἶ, Ἀρσένιε ὡς στύλος, Συμβουλίου ἁπασῶν τῶν Ῥωσιῶν, ἡ ψυχή σου σφόδρα γὰρ τέθλιπται ὡς εὑρέθης ἐν τῇ εἱρκτῇ, ἀλλὰ προβέβληται, ἡ στεῤῥά σου πίστις, νικῶσα τῶν πειρασμῶν, τό ἀγριώτατον.

Βίος ὁ τοῦ Δαμασκηνοῦ, ὡς θαυμαστός, τοῦ ἐν νήσοις Σολόφσκι! Σιβηρίας ποταμοῦ ἐν ὄχθῃ γάρ, καὶ δεινῶς τῷ ψύχει τρυχόμενος, ῥάσον δέδωκεν Ἱερεῖ, τινὶ μὴ ἔχοντι, θανὼν ἐν σχεδίᾳ, οὐκ ἄξιος ἦν αὐτοῦ, κόσμος ὡς γέγραπται.

### Θεοτοκίον.

Ἡ ὁδηγὸς Ἱεραρχῶν, μόνη Ἁγνή, Ἀειπάρθενε κόρη, Θεοτόκε τῶν στεῤῥῶν φρονήματι, καὶ ἡμᾶς νῦν δίδαξον σκέπτεσθαι, πράττειν ἅμα τε κατ' αὐτούς, ὀρθῶς τὸ θέλημα, τοῦ ἐκ Σοῦ τεχθέντος, Χριστοῦ τοῦ Θεοῦ σαρκός, μηδὲν φειδόμενοι.

### ᾠδή στ΄. ὁ εἱρμός.

Συνεσχέθη, ἀλλ' οὐ κατεσχέθη, στέρνοις κητῴοις Ἰωνᾶς· Σοῦ γὰρ τὸν τύπον φέρων, τοῦ παθόντος καὶ ταφῇ δοθέντος, ὡς ἐκ θαλάμου, τοῦ θηρὸς ἀνέθορε, προσεφώνει δὲ τῇ κουστωδίᾳ· οἱ φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτοῖς ἐγκατελείπετε.



Κληρονόμους, Ἐδὲμ τοῦ γενέσθαι, ὑμῖν ἐδόθη τῆς τερπνῆς, ἡ χάρις ὦ Ῥωσίας, Νεομάρτυρες εὐλογημένοι, ἐν μέσῳ πόνων, ὑμῶν τὴν κατάπαυσιν, εὑρηκότες καὶ δικαιοσύνην, ἥν ἐδιψήσατε ᾧδε ἐπὶ τῆς γῆς καί παρὰ Θεοῦ νῦν ἐδοξάσθητε.

Ἐν ἀφύκτοις, δεσμοῖς αἱ τοῦ Τσάρου, κόραι αὐτοῦ σὺν τῇ Μητρί, λόγων ἀνδρῶν Ἁγίων, ὑπομνήσεσι παρηγοροῦντο, Χριστοῦ γενέσθαι, νύμφαι ὡς γλιχόμεναι, ὧν Ἀλέξιος ἐν μαρτυρίῳ, αὐτῶν ὁμαίμων χερσὶ πατρὸς κομισθείς ἔσφακται πρεσβεύων σὺν αὐταῖς τῷ Χριστῷ.

Ὀρυχείου, βυθός ἦν ὁ τάφος, τῆς Ἐλισάβετ καὶ ὁμοῦ, τῆς ἀδελφῆς Βαρβάρας, καὶ τῶν ἐξ Συναθλητῶν ἑτέρων, τοῦ Ἰωάννου, τάς πληγὰς ἔνθα ἔδησε, τοῦ Ἀλαπάϊεφσκ Μάρτυρες Νέοι, εὐχῶν μοτώσει ἡμῶν τὰ ἕλκη ψυχῶν δήσατε ἀγάπῃ τοῦ Θεοῦ ἡμῶν.

Οἱ παθόντες, ἐν γῇ τῆς Ῥωσίας, ἐν ταῖς ἡμέραις διωγμῶν, γνωστοὶ σὺν τοῖς ἀγνώστοις, Ἐκλεκτοὶ Θεοῦ, γυναῖκες, ἄνδρες, οἱ Μοναχοί τε, καὶ τῶν παίδων ἡ πληθύς, ἐνισχύσατε τοὺς μεμνημένους, ὑμῶν τῶν ἄθλων ὁμαλυνθῆναι ἡμῖν, τὴν πρὸς τὸν Θεὸν ὁδὸν δεόμεθα.

### Θεοτοκίον.

Ἡμῶν γένος, τῶν δεινῶν πολλάκις, εὗρε τὴν λύτρωσιν εὐχαῖς, πρὸ σῶν σεπτῶν Εἰκόνων, Θεοτόκε πιστῶς δεομένων, καὶ νῦν Κυρία, σαῖς πρεσβείαις σύναψον, τάς πρὸς Σὲ ἡμῶν δεήσεις

*πάντων, πρὸς τὸν Υἱόν Σου σῶσαι ἡμᾶς συμφορῶν, Τοῦτον δυσωποῦσα ὡς Πανεύσπλαγχνον.*

**Κοντάκιον καὶ οἶκος καί Συναξάριον.**

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμην ἐπιτελοῦμεν πάντων τῶν Ρώσων Ἁγίων Νεομαρτύρων καί Ὁμολογητῶν τῶν ἐπί ἀθέου Κομμουνισμοῦ ὁμολογησάντων καί ἐν φρικταῖς φυλακαῖς, δειναῖς ἐξορίαις, πικραῖς βασάνοις, ἐν παγέτῳ καί κρύῳ, ἐν δίψει καί πείνῃ καί ποικίλοις τρόποις μαρτυρησάντων.

Στίχοι

Μάρτυρες ἐδείχθησαν Θεῷ Νέοι,
Ρωσίας γέννημα, Ὀρθοδοξίας κλέος.

**Ὠδὴ ζ΄. ὁ εἱρμός.**

*Ἄφραστον θαῦμα! ὁ ἐν καμίνῳ ῥυσάμενος, τοὺς Ὁσίους παῖδας ἐκ φλογός, ἐν τάφῳ νεκρός, ἄπνους κατατίθεται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων, Λυτρωτά, ὁ Θεὸς εὐλογητὸς εἶ.*

*Ἡ Ἐκκλησία, ἡ τῆς Ῥωσίας δεδόξασται, ταῖς βασάνοις Νέων Ἀθλητῶν, ἡμῶν συγγενῶν, πάσης ἡλικίας τε, τάξεως πάσης τε τῶν σφαγιασθέντων, Λυτρωτά, ὑπὲρ Σοῦ ὑπὸ ἀθέων.*

*Ὁ Ἰωάννης ἀπό τήν Ρήγα, ὁ χαριτώνυμος, Ἱεράρχης μέγας καί λαμπρός, καί Τύχων ποιμήν Βορονέζ θαυμάσιος, ἐν Συμφερουπόλει Ἀλέξιος ὁ θεῖος, πρεσβευτάς, ἀεί ἔχομεν πάντας.*

*Ὡς τά πτηνά οὐρανοῦ τά ἁγνότατα, εἰς φωλεάς Παραδείσου τάς τερπνάς, τούς νέους Ρωσίας παράλαβε Μάρτυρας, ἵνα δοξάζουν ἀεί τό ὄνομά Σου, Λυτρωτά, ὁ Θεός εὐλογητός εἶ.*



**Θεοτοκίον.**

*Παρθένε Μήτηρ Ἁγνή Ἀειπάρθενε, τόν λαόν σου ῥῦσαι ἀπειλῆς, καί δίωξον πάντα ἐχθρόν καί πολέμιον, πρός τόν Υἱόν Σου μή παύσῃς δυσωποῦσα, Παναγία, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου.*

**Ὠδή η΄, ὁ εἱρμός.**

*Ἔκστηθι φρίττων οὐρανέ, καί σαλευθήτωσαν τά θεμέλια τῆς γῆς· ἰδού γάρ ἐν νεκροῖς λογίζεται ὁ ἐν ὑψίστοις οἰκῶν καί τάφῳ σμικρῷ ξενοδοχεῖται· ὅν παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαός ὑπερυψοῦτε εἰς πάντας τούς αἰῶνας.*

*Θεῖον λουτρόν ἀμόλυντον, ἐλάβετε Μάρτυρες τοῦ Θεοῦ οἱ ἀθληταί, καί αἵμασι τοῖς σοῖς ἠλούσθητε, καί ἱματίοις λευκοῖς ἐνδύσασθε καί Χριστοῦ χιτῶνα, διό Θεόν ὑμνεῖτε, Ἱερεῖς εὐλογεῖτε, λαός ὑπερυψοῦτε εἰς πάντας τούς αἰῶνας.*

*Τόν Ἱεράρχην Ἰωσήφ, τόν Πετρουπόλεως γόνον θεῖον καί βλαστόν, ἁγνότητος ἐγκαλλώπισμα, μύστην Χριστοῦ τοῦ Θεοῦ, ἀσπλάγχνως αὐτόν ἀφορισθέντα, ἀδίκως διωχθέντα, ἄσπιλον φυλαχθέντα, διό αὐτόν ὑμνοῦμεν εἰς πάντας τούς αἰῶνας.*

*Ποιμένες ἔνδοξοι Χριστοῦ, τοῦ Ἀρχιποίμενος Γλυκυτάτου Ἰησοῦ, ἰδού γάρ Ἱεράρχοι Ἅγιοι, ὁ Σεραφείμ τοῦ Οὔγκλιτς, καί Μάξιμος Σερπούκωφ, οὕς πάντες ἀνυμνεῖτε, Ἱερεῖς εὐλογεῖτε, Θεόν δοξολογεῖτε, εἰς πάντας τούς αἰῶνας.*

### Θεοτοκίον.

Παρθένε Νύμφη τοῦ Θεοῦ, τόν κόσμον λύτρωσαι ἐκ βελῶν τοῦ πονηροῦ, Ρωσίας τόν καρπόν εὐλόγησον, Θεῖον Μαρτύρων χορόν, καί νέφος Ἁγίων καί δικαίων, διό σέ ἀνυμνοῦμεν, καί σέ δοξολογοῦμεν, Ἀνύμφευτε Παρθένε, εἰς πάντας τούς αἰῶνας.

### Ὠδή Θ΄

Μή ἐποδύρου μου Μῆτερ, καθορῶσα ἐν τάφῳ ὅν ἐν γαστρί ἄνευ σπορᾶς συνέλαβες υἱόν· ἀναστήσομαι γάρ καί δοξασθήσομαι καί ὑψώσω ἐν δόξῃ ἀπαύστως ὡς Θεός, τούς ἐν πίστει καί πόθῳ σέ μεγαλύνοντας.

Ὦ Νεομάρτυρες πάντες, τῆς Ρωσίας τό θαῦμα! ὅπερ ἐχάρισε Χριστός, μεγάλη δωρεά, ἀνυψούμεθα νῦν ἀπολαμβάνοντες τήν χαράν τήν ὑψίστην, γευόμενοι αὐτήν, ταῖς πρεσβείαις ἁπάντων Νεομαρτύρων ἡμῶν.

Ὤ τῆς γενναίας ψυχῆς των, τῶν Μαρτύρων ἁπάντων οὕς ἐστεφάνωσε Χριστός, ἐδόξασεν αὐτούς, τήν ἀμώμητον γάρ Πίστιν ἐτράνωσαν, ὑπερύψωσαν πόθῳ, ἐτίμησαν λαμπρῶς, καί νῦν χαίρουσιν πάντες, Θεόν δοξάσαντες.

Ὤ γενναιόφρων Λυδία, σύ καί Κύριλλον πάντως παρεδειγμάτισας σαφῶς, μέ πίστιν κραταιάν, καί Ἀλέξιον καλῶς ἐπεστήριξας, μέ τόν Θεῖόν σου λόγον ἐπύρωσας αὐτόν, τήν τριάδα Ἁγίων ὕμνοις τιμήσωμεν.



### Θεοτοκίον.

Τόν σόν ἀκάθιστον ὕμνον, εὐλαβῶς ἐκελάδει Ἱερομάρτυς ὁ λαμπρός, Βλαδίμηρος σοφός, Σέ ἐπόθει σφοδρῶς, εἰς σέ ἐδέετο, ἵνα δείξῃς Παρθένε τήν σήν βοήθειαν, καί λαόν σου πιστόν, διαφυλάξῃς Ἁγνή.

### Ἐξαποστειλάριον.

«Γυναῖκες ἀκουτίσθητε...»

Γενναῖοι Νεομάρτυρες, τρανῶς ὡμολογήσατε ἐν μέσῳ τῶν κακοτρόπων, ἀπίστων καί τῶν τυράννων, τήν Πίστιν ἐδοξάσατε, πάντας ἡμᾶς στηρίξατε, ἐν τῷ παρόντι αἰῶνι, ὡς μιμηταί τοῦ Κυρίου.

## ΑΙΝΟΙ

Τροπάρια δ΄ τῶν αἵνων Ἀναστάσιμα
καί δ΄ τῶν Νεομαρτύρων.

### Τῶν Νεομαρτύρων

«Ὅλην ἀποθέμενοι...» Ἦχος πλ.β΄

Πόνον δυνατώτατον ἡ Ρωσική Ἐκκλησία, ἐκ τοῦ ἀπηνοῦς διωγμοῦ ἐμπόνως αἰσθάνεται εἰς τά βάθη της, καί ὁ πιστός λαός δέεται γοερῶς, τῶν Μαρτύρων τά παθήματα, πάντοτε σκέπτεται, πέμπει καί δεήσεις πρός Κύριον, Αὐτόν καθικετεύει νῦν, καί τοῦ Ἱεράρχου τοῦ Βλαδιμήρου, τό μαρτύριόν του, θαυμάζοντες

*Ρωσίας οἱ πιστοί, πρός τόν Θεόν ἱκετεύουσιν, ἵνα ἐνισχύῃ αὐτούς.*

*Τύχων ὁ μακάριος καί ζηλωτής Πατριάρχης, πρῶτος ἐμνημόνευσε καί δεήσεις ἔπεμψε πρός τόν Κύριον, διά τούς Μάρτυρας, ὡς καί τό ποίμνιον, Ἱεράρχας καί Ποιμένας του, καί τόν Βλαδίμηρον τόν ἀμνόν σπηλαίων τόν Ἅγιον, Πέτρον καί Γερβάσιον, Ἱερομάρτυρας διακόνους τε, Πέτρον Παῦλον πάντας, Ρωσίας τά σεπτά καυχήματα, ἀεί πρεσβεύσατε Μάρτυρες πρός Θεόν τόν Ὕψιστον.*

*Ὅλοι θεῖοι Μάρτυρες, τῶν αἱμάτων τοῖς σοῖς ρείθροις, ψυχήν ἐλευκάνατε, πάγχρυσα ἐνδύσασθε τά ἱμάτια, χαράν λαμβάνετε εἰς τόν Παράδεισον, ἐπαξίως ἠγωνίσθητε, ἐκοπιάσατε καί νῦν ἡγιάσθητε ἅπαντες, ὑμᾶς δέ νῦν γεραίρομεν καί καθικετεύομεν τόν Σωτῆρα καί Δοτῆρα πάντων, χαρίτων τε καί Θείαν δωρεῶν, ὑπέρ ἡμῶν ἱκετεύσατε πρός Θεόν τόν εὔσπλαγχνον.*

*Συγκλονιστικώτατον, τῶν σῶν Μαρτύρων τό τέλος, Στεφοδότα Κύριε, δήμιοι ἐθαύμασαν καί ἐτρόμαξαν, φρικτά μαρτύρια, μετά χαρᾶς πολλῆς, τά ἐδέχθησαν οἱ Μάρτυρες, οὐδέ γογγίσαντες, ἀλλά καρτερῶς τά ὑπέμειναν! Πάντοθεν πολεμούμενοι καί παραμυθίαν εἶχον κρυφίαν, τό Χριστός Ἀνέστη! ἔψαλλον μέ γλυκεῖαν τήν φωνήν, Χριστέ Θεέ Παντοδύναμε, λάβε τάς ψυχάς ἡμῶν.*



**Δοξαστικόν, Ἦχος πλ. β΄.**

*Σήμερον ἅπασα ἡ Ρωσία, ἐγκωμιάζει φαιδρῶς τούς ἄθλους τῶν Νεομαρτύρων, τοῦ Πατριάρχου Τύχωνος, τῶν Ἱεραρχῶν καί Ἱερέων, τῶν διακόνων τε καί μοναχῶν, τῶν δοκίμων καί λαϊκῶν, τῶν ἐρασμίων αὐτῶν ψυχῶν. Καί γεραίρει γηθοσύνως καί πανευκλεῶς τάς νίκας αὐτῶν, κατά τῶν ἀπίστων, τῶν ἀθέων καί μηδενιστῶν, τῶν ἀσεβεστάτων τυράννων, τῶν πιστῶς ὑπηρετούντων τό θέλημα τοῦ πατρός αὐτῶν τοῦ διαβόλου. Ἅπαντες οἱ Νεομάρτυρες μέ τό αἷμά των ἐπορφύρωσαν τήν γῆν τῶν Ρωσιῶν. Ὡς θυσία ἄμωμος καί θυμίαμα εὐωδέστατον, ἀνῆλθεν εἰς Οὐρανούς ἡ Ὁμολογία καί τό Μαρτύριον αὐτῶν, εἰς τά σκηνώματα τοῦ Κυρίου τά ἀγαπητά καί περιπόθητα. Καί νῦν ἐν Οὐρανοῖς ὡράϊσαν τήν Θριαμβεύουσαν Ἐκκλησίαν οἱ τῆς Ρωσίας πάνσεμνοι βλαστοί. Ἐδώρησαν δέ ὑμῖν τήν πάντερπνον αὐτῶν εὐωδίαν τῆς Ἁγιότητος. Κύριε πρεσβείαις αὐτῶν καί πάντων τῶν Ἁγίων, φύλαττε ἀλώβητον τήν μαρτυρικήν Ἐκκλησίαν Σου καί σῶσον τάς ψυχάς ἡμῶν.*

**Καί νῦν. Ἀναστάσιμον.**

**Δοξολογία Μεγάλη.**

# ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

Τά Τυπικά... Εἰς τούς Μακαρισμούς ἀπό τήν γ΄ καί στ΄ ᾠδήν, δ΄ Ἀναστάσιμα καί δ΄ τῶν Νεομαρτύρων.

Εὐαγγέλιον· τῆς ἡμέρας καί Μαρτυρικόν

Κοινωνικόν· Ἀναστάσιμον· *Αἰνεῖτε τόν Κύριον...* καί εἰ βούλει· *καί εἰς μνημόσυνον αἰώνιον...*

## Δίστιχον

*Ἔνδοξοι Νεομάρτυρες Ρωσίας τῆς Ἁγίας τῷ ἐπαιτοῦντι Νήφωνι, ἀθλίῳ Ἱεράρχῃ, ποιήσατε πρός Κύριον ὑπέρ Αὐτοῦ πρεσβείαν, ἵνα ρυσθῇ κολάσεως, πυρός τοῦ αἰωνίου.*

*(Ἡ Ἱερά Ἀκολουθία τῶν Ρώσων Νεομαρτύρων, μεταφρασθεῖσα ἐξ ἀγγλικῆς ἐκδόσεως τοῦ Isaak Lambertsen 1983, συνεπληρώθη καί ὡλοκληρώθη ὑπό τοῦ Σεβ/του Μητροπολίτου Πειραιῶς κ. Νήφωνος, Καθηγουμένου τῆς Ἱερᾶς ἡμῶν Μονῆς).*

Ἡ μνήμη τῶν Ρώσων Νεομαρτύρων ἔχει καθιερωθῆ ἀπό τούς Ρώσους τῆς Διασπορᾶς νά ἑορτάζεται ἡμέρα Κυριακή ἀπό 22-28 Ἰανουαρίου, διότι εἰς αὐτάς τάς ἡμέρας ἐμαρτύρησε τό 1918 ὁ πρῶτος Ρῶσος Μάρτυς Ἱεράρχης, ὁ Ἅγιος Βλαδίμηρος Μητροπολίτης Κιέβου. Ἄλλωστε τό κρύον τοῦ Ἰανουαρίου ὑπενθυμίζει τά δεινά, τά ὁποῖα ὑπέφερον οἱ Νεομάρτυρες Ρῶσοι καί ἰδίως ὅσοι ἐξ αὐτῶν ἐξωρίσθησαν εἰς τά φρικτά στρατόπεδα συγκεντρώσεως.

*(Εἰ τύχῃ τήν ἰδίαν ἡμέραν καί τοῦ Ἁγίου Γρηγορίου τοῦ Θεολόγου ἤ τῆς Ἀνακομιδῆς τοῦ Ἁγίου Ἰωάννου Χρυσοστόμου, ἤ γίνεται συνεορτασμός ἤ ψάλλονται οἱ Νεομάρτυρες τό Σάββατον).*

Εὔξασθε καί ὑπέρ τῶν κοπιασάντων διά τήν ἔκδοσιν ταύτην. (Ὅστις εὕρει λάθη, ἄς μᾶς ἐνημερώσῃ πρός διόρθωσιν).

*Μίαν εἰκόνα τοῦ τεραστίου Μαρτυρικοῦ ἄθλου τῶν ἑκατομμυρίων Ρώσων Νεομαρτύρων δίδουν τά βιβλία τῶν συγγραφέων M. Polsky, I.Andreyev, Σ.Νινίκα, Π.Βασιλειάδη, Μ.Μελινοῦ, Ἀρχιμ. Ν. Ἀντωνοπούλου, Δρος Ἀρ. Ἀνδρονίκου, Ἡσυχίου Μοναχοῦ κ.ἄ. Ζητεῖστά τα, διά νά λάβετε μεγάλην ψυχικήν ὠφέλειαν. Περί αὐτοῦ ἔχει γράψει καί τό Ὀρθόδοξον περιοδικόν "Ἡ Ἄμπελος ἡ Ἀληθινή" εἰς 3 τεύχη του.*